# TEZAUR LITURGIC

## 17 IUNIE

# SLUJBA SF.MUCENICI MANUIL,SAVEL ŞI ISMAIL DE LA CONSTANTINOPOL

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 17 Ἰουνίου

# Ἀκολουθία Μαρτύρων

# ΜΑΝΟΥΗΛ, ΣΑΒΕΛ καὶ ΙΣΜΑΗΛ

[Τὸ πρῶτον μὲν ἐρανισθεῖσά τε καὶ φιλοπονηθεῖσα παρὰ Μανουὴλ Μάνου τοῦ Βυζαντίου καὶ ἐπιδιορθωθεῖσα παρὰ τοῦ Πανοσιοσοφολογιωτάτου Διδασκάλου καὶ Ἱεροκήρυκος τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας κυρίου Δωροθέου Βουλησμᾶ, εἰς φῶς ἤχθη διὰ δαπάνης τοῦ ἐν μακαρίᾳ τῇ λήξει Εὐγενεστάτου Ἄρχοντος Πολκοβνίκου καὶ Καβαλλιέρη κυρίου Μανουὴλ Μπάλσα· νῦν δὲ αὐξηθεῖσα παρὰ τοῦ αὐτοῦ Ποιητοῦ. Ἐν Λειψίᾳ τῆς Σαξωνίας ΑΩΙΕ΄ [1815].

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἀήττητοι Μάρτυρες ζωὴν, ἀληθῆ ποθήσαντες, καὶ εἰς ᾀεὶ διαμένουσαν, θάνατον ἄδικον, παρανόμῳ ψήφῳ, χαίροντες ὑπέστητε· καὶ νῦν μετὰ Μαρτύρων εὐφραίνεσθε· μεθ’ ὧν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Μητρὸς τὴν εὐσέβειαν σοφοὶ, εὐσεβῶς ποθήσαντες, τὴν πατρικὴν ἀπεβάλετε, πλάνην ἀντίθεον· τοῖς Εὐνοϊκοῦ γὰρ, θεοφθόγγοις ῥήμασι, προφρόνως πειθαρχοῦντες μακάριοι, χάριν εἰλήφατε, τὴν τοῦ Πνεύματος καὶ ὤφθητε, ἐν σταδίῳ, ἀμνοὶ ἐθελόθυτοι.

Κάρας ἐκτεμνόμενοι ἐχθροῦ, κάραν συνετρίψατε, ὡραιοτάτοις ποσὶν ὑμῶν, γενναῖοι Μάρτυρες, ἀπλανεῖς

ἀστέρες, ἱερεῖα ἔμψυχα, ναοῦ ἐπουρανίου κειμήλια, ἔνδοξε Μανουὴλ, πολυΰμνητε ὦ Ἰσμαὴλ, Σαβὲλ θῦμα, τῷ Χριστῷ εὐπρόσδεκτον.

Τρισάριθμοι Μάρτυρες στεῤῥῶς, ἀνταγωνισάμενοι, τοῖς ὠμοτάτως δικάζουσι, καὶ εἶδος ἕκαστον, τῶν κολαστηρίων, πίστει ὑπομείναντες, τῆς ἄνω Βασιλείας ἐτύχετε· διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος β΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἐν τῇ μνήμῃ σήμερον τῶν Ἀθλοφόρων ὦ φιλέορτοι· δεῦτε εὐφημήσωμεν αὐτοὺς, μυστικῶς ἐγκωμιάζοντες· χαίροις Μανουὴλ ἔνδοξε, χαίροις Σαβὲλ ἀείμνηστε, χαίροις Ἰσμαὴλ τρισόλβιε, οἱ τὴν πλάνην τῶν εἰδώλων εἰς χάος βυθίσαντες, καὶ Χριστὸν τὸν Κύριον ἐν μέσῳ τοῦ σταδίου τρανῶς κηρύξαντες· διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Εἰς τὸν Στίχον Προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ῥῦσαι παθῶν ψυχῆς, καὶ σώματος εὐχαῖς σου, Μανουὴλ τούς ἐκ πόθου, τελοῦντάς σου τὴν θείαν, καὶ μακαρίαν ἄθλησιν.

Στ. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Λύτρωσαι τῶν δεινῶν, τῶν νῦν παρενοχλούντων, τὴν ταπεινὴν ψυχήν μου, ὡς ἄριστος προστάτης, Μαρτύρων ἐγκαλλώπισμα.

Στ. *Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν.*

Ὅλος φωτολαμπὴς, ὡς ἥλιος τῇ αἴγλῃ, τῆς ἀπροσίτου δόξης, ὑπάρχων Ἀθλοφόρε, τοὺς ὑμνητάς σου φαίδρυνον.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε φίλαθλοι τὴν τρισαυγῆ τῶν Μαρτύρων χορείαν, ἐν ᾠδαῖς καὶ ὕμνοις εὐφημήσωμεν, Μανουὴλ τοῦ θεόφρονος Σαβὲλ τοῦ γενναιοτάτου, καὶ Ἰσμαὴλ τοῦ τρισμάκαρος· ὅτι αἵματα ἔδωκαν, καὶ ὠνήσαντο τὴν αἰώνιον ζωήν· διὸ καὶ καρτερικῶς ἀντέλεγον τῷ ἐφευρέτῃ τῶν κακῶν· οὐ προκρίνομεν τὰ φθαρτὰ τῶν ἀφθάρτων· τὴν πίστιν ᾗ συνετράφημεν οὐκ ἐξομόσόμεθα· τοῖς παρὰ σοὶ δαίμοσιν οὐ λατρεύσομεν· τὸν Κύριον ἡμῶν καὶ Θεὸν οὐκ ἐγκαταλείψομεν, τὸν ᾀεὶ βοῶντα τοῖς πιστοῖς, ὁ πιστεύων εἰς ἐμὲ, κᾂν ἀποθάνῃ ζήσεται.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις,Τρισάγιον καί Ἀπολυτίκιον.Ἦχος δ΄

Οἱ τῆς εὐσεβείας ὑπέρμαχοι, καὶ τῆς ἀσεβείας ἀντίπαλοι, Μανουὴλ θεόπνευστε, καὶ Ἰσμαὴλ θαυμάσιε, καὶ Σαβὲλ ἀξιάγαστε, παῤῥησίᾳ τὸν Χριστὸν, Υἱὸν Θεοῦ κηρύξαντες, τὸ αἷμα ὑμῶν ὑπὲρ

Αὐτοῦ ἐξεχέατε· Ὅν δυσωποῦντες μὴ παύσητε, τοῦ σωθῆναι τὰς ψυχάς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσῳσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τὸν Προοιμιακὸν καὶ τὰ Ἀνοιξαντάρια, στιχολογεῖται τὸ Μακάριος ἀνὴρ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Μανουὴλ ὁ θαυμάσιος, ὁ Σαβὲλ ὁ μακάριος, Ἰσμαὴλ ὁ πάνσοφος μελῳδήμασιν, ἱερωτάτοις τιμάσθωσαν, Τριάδα τὴν Ἄκτιστον, ἐναντίον ἐχθρῶν, ἱερῶς προκηρύξαντες, καὶ πολύθεον, ἀποσβέσαντες πλάνην τῶν αἱμάτων, ταῖς προσχύσεσι καὶ δόξαν, ἀπειληφότες ἀμάραντον.

Τὴν μητρῴαν εὐσέβειαν, παιδιόθεν ποθήσαντες, πατρικὴν ἀσέβειαν ἀπωθήσατε, Εὐνοΐκοῦ τοῦ παμμάκαρος, τὰ θεῖα διδάγματα, ἐμυήθητε σοφῶς, καὶ προθύμως ἐλάβετε, τὴν τοῦ Πνεύματος, ἀναγέννησιν ὅθεν καὶ τυράννου, τὰς ποινὰς μὴ πτοηθέντες, ἀνδρειοφρόνως ἠθλήσατε.

Βασιλέα παράνομον, παρανόμως προστάττοντα, ὑποκύπτειν σέβας τε, νέμειν ἄλογον, θεοῖς ἀψύχοις μακάριοι, ἐμφρόνως ᾐσχύνατε, Μανουὴλ, καὶ Ἰσμαὴλ, καὶ Σαβὲλ μεγαλώνυμοι, καὶ ἀθλήσαντες, καρτερῶς καὶ νομίμως τοὺς στεφάνους, ἀνεπλέξασθε τῆς νίκης, ὑπὲρ τοῦ κόσμου πρεσβεύοντες.

Ὡς ἀστέρες πολύφωτοι, Ἀθλοφόροι αὐτάδελφοι, θεϊκαῖς λαμπρότησι καταυγάζετε, τῆς οἰκουμένης τὰ πέρατα, δαιμόνων σκοτόμαιναν, καὶ παθῶν φθοροποιῶν, καὶ κινδύνων ἐξαίροντες· ὅθεν σήμερον, τὴν φαιδρὰν καὶ φωσφόρον καὶ ἁγίαν, συνελθόντες ἐκτελοῦμεν, ὑμῶν πανήγυριν ἔνδοξοι.

Ἕτερα, τοῦ Ἁγίου Μανουήλ. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Νῦν ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπρὰς, ἀριστείας ἐν ᾄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτὶ, Μανουὴλ ἀθλητικώτατε.

Ἀποτμηθεὶς διὰ ξίφους πάσας ἐξέτεμες, τὰς μηχανὰς τοῦ πλάνου, καὶ δολίου βελίαρ, ὦ Μανουήλ θεόφρον, διὸ τοὺς πιστῶς, τὴν σὴν μνήμην γεραίροντας, ῥῦσαι παγίδων τῶν τούτου ταῖς πρὸς Θεὸν, εὐπροσδέκτοις ἱκεσίαις σου.

Ἐπὶ τῇ μνήμῃ προθύμως δεῦτε συνέλθωμεν, Μανουὴλ τοῦ γενναίου, καὶ λαμπρῶς εὐφρανθῶμεν· αὐτὸς γὰρ ἑστιάτωρ ὑπάρχει ἡμῖν, τοῖς πιστῶς

προσιοῦσιν αὐτῷ, καὶ τῶν δεινῶν ἀπαλλάττει ταῖς πρὸς Θεὸν, ἱκεσίαις αὐτοῦ πάντοτε.

Τῶν οὐρανίων τὰ κάλλη ποθήσας ἔνδοξε, ὡς τῷ Χριστῷ συνεῖναι μετ᾽ Ἀγγέλων Ἁγίων, παντοίας τὰς βασάνους ὑπέστης στεῤῥῶς, Μανουὴλ ἀξιάγαστε, καὶ μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, συνεφραίνῃ τοῖς συνάθλοις σου.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡ τρισαυγὴς τῶν Μαρτύρων ὁμήγυρις, ὡς σελασφόρων ἀστέρων συνέλευσις, τοὺς πιστοὺς σελαγίζουσα, πρὸς μυστικὴν εὐφροσύνην ἐκάλεσε· σήμερον γὰρ ὁ Μανουὴλ ὁ ἔνδοξος, καὶ Σαβὲλ ὁ ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ τρισόλβιος, οἱ τοῦ νοητοῦ ἡλίου θεράποντες, καὶ τῶν ἀσεβῶν δογμάτων καθαιρέται, ἐκέρασαν πλήρη τὸν ἀθληφορικὸν αὐτῶν κρατῆρα, καὶ τοῖς διὰ Χριστὸν ἐκχυθεῖσιν αἵμασιν, ἑαυτοὺς ἔστεψαν, ἡμᾶς προτρεπόμενοι τοὺς εὐσεβείας ἐραστάς· δεῦτε λέγοντες τοῦς ἀγῶνας ἡμῶν ἑστιάθητε, καὶ τοὺς στεφάνους καὶ τὰ γέρα προσβλέψατε· ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, Χριστὸς ἡ ἀλήθεια ἀπεφήνατο· ἵνα κοινωνοὶ γένησθε τῶν στεφάνων ἡμῶν, καὶ πρεσβευτὰς ἡμᾶς πρὸς Κύριον ἔχητε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει Σου τὸν ἀλόχευτον Τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ Αὐτὸς ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθεὶς· φύσει

Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος Ἄνθρωπος δι’ ἡμᾶς· οὐκ εἰς δυάδα Προσώπων τεμνόμενος, ἀλλ’ἐν δυάδι Φύσεων ἀσυγχύτως γνωριζόμενος· Αὐτὸν ἱκέτευε Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα(γ΄1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε΄15-23,στ΄ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν

ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν Στιχηρὰ· τοῦ Ἁγίου τῆς Μονῆς τὸ α'.Εἶτα τὰ παρόντα ἰδιόμελα. Ἦχος α'.

Τῶν τυραννούντων τὰ θράση μὴ δειλιάσαντες, μᾶλλον δὲ τοῦ Χριστοῦ τὴν πίστιν τρανῶς κηρύξαντες, ἥλοις περονᾶσθε τοὺς ἀστραγάλους, καὶ λαμπάσι πυρὸς τὰς μασχάλας καταφλέγεσθε, ἄλλας τε πολλὰς βασάνους ὑπεμείνατε, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ ἀξιάγαστοι· διὸ πρεσβεύσατε τῷ Βασιλεῖ καὶ Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελούντων, τὴν μνήμην ὑμῶν τὴν σεβάσμιον.

Ὁ αὐτός.

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Μανουὴλ τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοὶ ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν· οὗτος γὰρ ὑπὲρ Χριστοῦ, ἀνδρικῶς καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο, καὶ νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων χορεύων τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἦχος β΄.

Προφητικῶς τοῖς Ἁγίοις συνελθόντες οἱ πιστοὶ, τὸν Δαβιτικὸν ὕμνον ἀναβοήσωμεν· Ἰδοὺ δὴ τὶ καλὸν ἤ τὶ τερπνὸν, ἀλλ' ἤ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ· φύσεως γὰρ ἀκολουθίᾳ καὶ πίστεως, τὰς ἀπειλὰς καὶ ποικίλας βασάνους, ὁμοφρόνως καὶ ἀνδρικῶς ὑπεδέξαντο· ὅθεν καὶ τὸν Σταυρὸν εὐαγγελικῶς ἐπ' ὤμων ἀράμενοι, πάντα τὰ φθαρτὰ ἐβδελύξαντο, καὶ Χριστῷ ἠκολούθησαν, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ, οἱ καλλίνικοι Μάρτυρες· διὸ καὶ παῤῥησίαν πρὸς Θεὸν κεκτημένοι, πρεσβεύουσιν αὐτῷ, ὑπὲρ ἡμῶν, τοῦ καταπεμφθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Εἰς τὰ ὑπερκόσμια σκηνώματα, τὸ πνεῦμά σου Μανουὴλ Μεγαλομάρτυς σοφὲ, Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητον· σὺ γὰρ τῆς Τριάδος γέγονας ὑπέρμαχος, ἐν τῷ σταδίῳ ἀνδρείως ἐναθλήσας ὡς ἀδάμας στεῤῥός. Καθηλούμενος γὰρ τὴν κεφαλὴν, καὶ ἀμφότερα τὰ νῶτα, καὶ ἐν καλάμοις κατασφιγγόμενος, καὶ ὀξέσι κατακεντούμενος βέλεσιν, ἀκλινῶς τὰ πάντα

ὑπήνεγκας, μιμούμενος τὸν ἐπὶ ξύλου λογχευθέντα, εἰς σωτηρίαν παντὸς τοῦ κόσμου· διὸ σου σήμερον τὴν κοίμησιν ἑορτάζοντες, ἐπαξίως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον.

Ἦχος γ'.

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τὴν παροῦσαν φαιδρύνωμεν ἡμέραν, καὶ ἠχήσωμεν τὰ τῶν Μαρτύρων ἀγωνίσματα· πρόκεινται δὲ ἡμῖν εἰς εὐφημίαν, οἱ μέγιστοι τρεῖς Μάρτυρες· τὰς γὰρ τοῦ τυράννου ἐπιφορὰς ἀνδρείως ἑλόντες, πρὸς τὸ στάδιον προθύμως ἥλαντο· καὶ τὰ νικητήρια ἐνδόξως ἀπενεγκάμενοι, τὸν Σωτῆρα δυσωποῦσι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τὸν Ἀθλοφόρον Χριστοῦ τοῦ Θεοῦ, ἐν ὕμνοις τιμήσωμεν, Μανουὴλ τὸν ἔνδοξον· σήμερον γὰρ ὡς ἑωσφόρος ἀνέτειλε, καὶ καταφωτίζει τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ, ἐπιτελούντων τὴν μνήμην αὐτοῦ τὴν σεβάσμιον.

Δόξα. Ἦχος πλ. α'.

Ἡ Ἐκκλησία σήμερον στολισαμένη διὰ τῶν ἄθλων σου, Μάρτυς τοῦ Χριστοῦ εὐφραίνεται, καὶ τὴν σὴν παγγέραστον μνήμην, κατ' ἀξίαν εὐφήμως κραυγάζει γεραίρουσα· χαίροις, ὁ τὸν Παῦλον ζηλώσας, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, καὶ τὰς παγίδας συντρίψας τοῦ πολυπλόκου βελίαρ· χαίροις Μαρτύρων τὸ καύχημα, καὶ Βασιλέων κραταίωμα,

Μανουὴλ πολύαθλε· ὑπὲρ ἡμῶν πρὸς Κύριον μὴ διαλείῃς πρεσβεύων, ὡς παῤῥησίαν ἔχων, Αθλοφόρων ἐγκαλλώπισμα.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον Προσόμοια. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶς.

Χαίροις ἡ τῆς Τριάδος τριὰς, τῶν ἀρετῶν τὰ καθαρὰ καταγώγια, κρατῆρες τὸν θεῖον οἶνον, τῆς εὐσεβείας ἡμῶν, τὰς ψυχὰς εὐφραίνοντα οἱ προχέοντες· μαζοὶ οἱ τὸ γάλα, τῶν ἰαμάτων πηγάζοντες, ἄστρα τὸ φέγγος, ἀληθείας πυρσεύοντα, καὶ τὰ πέρατα, φωταυγίας λαμπρύνοντα. Μάρτυρες μεγαλώνυμοι, οἱ νύκτα μειώσαντες, τῆς ἀγνωσίας πολλῶν τε, τὰς διανοίας φωτίσαντες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις ὦ Μανουὴλ θαυμαστὲ, καὶ Ἰσμαὴλ τε καὶ Σαβὲλ μεγαλώνυμοι, τὴν πλάνην πολυθεΐας, τῶν ἐμμανῶν ἀσεβῶν, ἐπιγνώσει θείᾳ κατασβέσαντες· δι’ ὧν οἱ θρησκεύοντες, παρανόμως τὰ εἴδωλα, ἐν Χαλκηδόνι, παντελῶς ἠμαυρώθησαν, καὶ κατήργηται τοὺ τυράννου τὸ πρόσταγμα. Μάρτυρες ἀεισέβαστοι, Τριάδος ὑπέρμαχοι, ἄρνες ὡραῖοι ὀφθέντες, τοῦ

ἀληθοῦς Ἀρχιποίμενος, Χριστοῦ τοῦν τυθέντος, καὶ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Πᾶσαν ἐπιφορὰν τῶν δεινῶν, ἀνδρειοτάτῳ λογισμῷ ὑπηνέγκατε, καὶ πᾶσι τοῖς ἀσεβέσι μὴ πειθαρχοῦντες σοφοὶ, πρὸς βασάνων πλείω πεῖραν ἤγεσθε· διὸ αἰκιζόμενοι, καὶ λαμπάσι φλεγόμενοι, καὶ ἀπανθρώπως, κεφαλὰς ἐκτεμνόμενοι, οὐκ ἐκάμφθητε, οὐ Θεὸν ἐξηρνήσασθε· ὅθεν προσαπηνέγκατε, τῆς νίκης τὸν στέφανον, καὶ ταῖς Μαρτύρων ἀγέλαις, περιφανῶς ἠριθμήθητε· μεθ' ὧν ἐξαιτεῖσθε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Εἰλικρινῶς ποθήσαντές Σε Λόγε Θεοῦ, οἱ ἔνδοξοι Μάρτυρες, τὸ πυρσολατρεῖν ἐάσαντες, λιπόντες καὶ τὴν τῶν Χαλδαίων χθόνα, τῷ Σῷ φωτὶ κατηυγάσθησαν· θωρακισθέντες δὲ ὅπλοις τῆς πίστεω ς, ᾔσχυναν Ἰουλιανὸν τὸν τύραννον, Μανουὴλ ὁ ἔνδοξος, καὶ Σαβὲλ ὁ ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ τρισόλβιος, σὺν Πατρὶ καὶ τῷ Πνεύματι ὑμνοῦντές σε, καὶ πρεσβεύοντες τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, Σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς

ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις καὶ τὸ Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος α΄. Τούς τρεῖς μεγίστους φωστήρας.

Τοὺς τρεῖς ἐνδόξους ἀστέρας τοῦ νοητοῦ στερεώματος, τοὺς ἐκ τῆς Περσίδος τὴν οἰκουμένην πᾶσαν καταγλαΐσαντας, τοὺς Ἀθλητὰς καὶ κήρυκας τῆς Τριάδος, τοὺς τὴν Θράκην πᾶσαν, τῇ αἴγλῃ τοῦ Μαρτυρίου καταπλήξαντας, Ἰσμαὴλ τὸν ἔνδοξον, Μανουὴλ τὸν ἀθλητικώτατον, σὺν Σαβὲλ τῷ τρισμακαρίῳ, καὶ ἀμφοτέροις συναθλήσαντι· πάντες οἱ τῶν ἄθλων αὐτῶν ἐρασταὶ, συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Δόξα. Τοῦ Ἁγίου Μανουὴλ. Ὁ αὐτός.

Οὔτ᾽ ἀπειλὰς τοῦ τυράννου πτοηθεὶς Μανουὴλ πολύθλε, οὔθ᾽ ὑποσχέσεσιν αὐτοῦ καμφθεὶς, τοὺς μαρτυρικοὺς ἀγῶνας κατέλιπες· ἀλλὰ γενναίως τὰς βασάνους ὑποστὰς, διήνυσας διὰ πυρὸς καὶ αἵματος, τοῦ Μαρτυρίου τὸ στάδιον· ὅθεν καὶ παῤῥησίαν ἔχων πρὸς Θεὸν, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν τελούντων σου τὴν μνήμην, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν Σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης Πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην Σου·

δόξα τῷ ἐνοικίσαντι ἐν Σοὶ, δόξα τῷ προελθόντι ἐκ Σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ Τόκου Σου.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀθλήσαντες στεῤῥῶς, ὑπὲρ πίστεως θείας, ἐλάβετε λαμπρῶς, τῶν ἀγώνων τὰ γέρα, διὸ καὶ τὰ πανένδοξα, ὑμῶν θεῖα σκηνώματα, πᾶσι πνέουσι, διηνεκῆ εὐωδίαν, καὶ παρέχουσι ψυχῶν ὁμοῦ καὶ σωμάτων, ἰάσεις ἑκάστοτε.

Δόξα.

Παράνομε κριτὰ, τί βραδύνεις ἐβόας, τὸ σῶμα τὸ θνητὸν, μεληδὸν κατατμῆσαι; Ψυχὴν δὲ μὴ δύναμενος, σὺ προσψαῦσαι τὸ σύνολον; Τρεῖς γὰρ ἕν ἐσμὲν, ἕν τὸ αὐτὸ καὶ φρονοῦμεν, ὡς αὐτάδελφοι, κατά τε σάρκα καὶ πίστιν, Μανουὴλ ἀξιάγαστε.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότα εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους Σου.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ.

Κατεπλάγησαν ποτὲ, τῶν ἀνομούντων ὁ λαὸς, τὸ ἀνδρεῖον τῶν ψυχῶν, βλέποντες Μάρτυρες ὑμῶν, καὶ τῷ Κυρίῳ πιστεύοντες ἐκραύγαζον· Δόξα Σοι Χριστὲ παντοδύναμε· Σὺ γὰρ εἶ Θεὸς καὶ οὐκ οἴδαμεν, ὁ ἐνεργῶν παράδοξα θαυμάσια, ἐν τοῖς Ἁγίοις Σου Μάρτυσιν· Ὧν ταῖς πρεσβείαις, Σωτὴρ τοῦ κόσμου, φώτισον τοὺς ὑμνοῦντάς Σε.

Δόξα.

Κατεπλήττετο δεινῶς, ὁ παραβάτης Βασιλεὺς, πῶς ὑπέμεινας στεῤῥῶς, τὴν ποικιλίαν τῶν ποινῶν, κατάστικτος τοῖς μώλωψι γεγενημένος· ὅθεν καὶ κενοῖς πειρᾶται ῥήμασι, καὶ λόγοις μανικοῖς ἀπατῆσαί σε· σὺ δὲ ἐν τούτοις ὤφθης ἀπαράτρεπτος, Χριστὸν ποθήσας θεσπέσιε· Μαρτύρων δόξα, πιστῶν ὁ ῥύστης, Μανουὴλ ἀξιύμνητε.

Καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγησαν Ἁγνὴ, πάντες Ἀγγέλων οἱ χοροὶ, τὸ μυστήριον τῆς Σῆς, κυοφορίας τὸ φρικτὸν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς, ταῖς Σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι; Καὶ Σὲ ὡς ὄντως, Θεοῦ Μητέρα εὐφημοῦντες δοξάζουσι.

Μετὰ τὸν Πολυέλεον· Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῶν βασάνων τὰ νέφη τὰ χαλεπὰ, Ἀθληταὶ παριδόντες μαρτυρικῶς, ὡς ἥλιοι χάριτι, τοῦ Σωτῆρος ἐλάμψατε· ἀδελφική στοργή δὲ, ἐνθέως συνδούμενοι, ἐφ' ὁμοίοις πόνοις, λαμπρῶς ἐδοξάσθητε· ὅθεν μετὰ τέλος, ἀτελεύτητον χάριν, ἐξ ὕψους ἐδέξασθε, θεραπεύειν νοσήματα, Ἀθλοφόροι αὐτάδελφοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα.

Βασιλεῖ τῶν αἰώνων εὐαρεστῶν, Βασιλέως ἀνόμου πᾶσαν βουλὴν, ἐξέκλινας ἔνδοξε, καὶ γλυπτοῖς οὐκ ἐπέθυσας· διὰ τοῦτο θῦμα, σαυτὸν προσενήνοχας, τῷ τυθέντι Λόγῳ, ἀθλήσας στεῤῥότατα, ὅθεν τὰ βραβεία τῶν σῶν ἄθλων λαμβάνεις, τὰ πάθη ἰώμενος, τῶν πιστῶς προσιόντων σοι, Μανουὴλ παμμακάριστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ῥυπαρὸς, ἄξια καὶ δέομαι, Θεοτόκε πανύμνητε, πρὸ τοῦ τὰς πύλας φθάσαι, θανάτου ἐπίστρεψον, πρὸς τὴν τῆς μετάνοιας, ὁδὸν ὁδηγοῦσά με, ἵνα εὐχαρίστως προσκυνῶν ἀνυμνῶ Σου, τὴν ἄμετρον δύναμιν, καὶ τὴν θείαν ἀντίληψιν, Παναγία

Θεόνυμφε, πρεσβεύουσα τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν πανάγιον Τόκον Σου.

Οἱ Ἀναβαθμοὶ, τὸ α᾽ Ἀντίφωνον τοῦ δ᾽ ἦχου.

Προκείμενον· *Ἰδοὺ δὴ τὶ καλὸν ἤ τὶ τερπνὸν, ἀλλ᾽ ἤ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.*

Στ. *Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ᾽ ἡμᾶς τὰς χεῖρας αὑτῶν, καὶ διώξουσι παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ Βασιλεῖς καὶ Ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς Μαρτύριον· θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾷν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ συγγενῶν καὶ φίλων, καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὀνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ἡμῶν.

Ὁ Ν᾽ Ψαλμός.

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον· ἦχος πλ. β΄. Στ. Ἐλεήμον, ἐλέησόν με ὁ Θεός...

Σήμερον συγκαλεῖται ἡμᾶς τοῦ Ἀθλοφόρου ἡ ἱερὰ πανήγυρις. Δεῦτε οὖν φιλέορτοι, φαιδρῶς ἑορτάσωμεν, τὴν μνήμην αὐτοῦ λέγοντες· χαίροις ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαῤῥήξας διὰ τῆς πίστεως, τὴν δὲ ἀνδρίαν τοῦ Πνεύματος σεαυτῷ περιθέμενος· χαίροις ὁ καταργήσας τὰς ἐπινοίας τοῦ Παραβάτου, τῇ ἰσχύϊ τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ· χαίροις ὁ λογχευθέντων τῶν μελῶν, τὸ μακάριον Πάθος πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ· ὅν καθικέτευε Μανουὴλ, Ἀθλητῶν ἐγκαλλώπισμα, λυτρωθῆναι ἡμᾶς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Οἱ Κανόνες· τῆς Θεοτόκου εἰς στ΄ καὶ ἕτεροι δύο τῶν Ἁγίων εἰς η΄.

Κανὼν α'τῶν Ἁγίων. Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τριάδος ὑπέρμαχοι, τῆς Παναγίας πανόλβιοι, συμφώνως ἐδείχθητε, προσκυνηταὶ τῆς σεπτῆς, καὶ παρίστασθε, τῷ θρόνῳ τῆς Τριάδος, θερμοὶ ἀντιλήπτορες τῶν προστρεχόντων ὑμῖν.

Εἱρκτῇ ἀπαγόμενοι, τροπαιοφόροι αὐτάδελφοι, χαρᾷ συνεψάλλετε, τῷ Βασιλεῖ τοῦ παντός. Δεῦτε λέγοντες, ἐξ' ὅλης τῆς καρδίας, Θεῷ ἀλαλάξωμεν τῷ Παντοκράτορι.

Σαβὲλ ὁ ἀείμνηστος, καὶ Ἰσμαὴλ ὁ θαυμάσιος, ἀξίως τιμάσθωσαν, σὺν τῷ σοφῷ Μανουὴλ, ὅτι ἤνεγκον, πολλάς τε καὶ παντοίας, βασάνους καὶ θάνατον, οἱ ὑπερένδοξοι.

Θεοτοκίον.

Σὺ μόνη Θεόνυμφε, τὸν ἐν Ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάστασας, σάρκα γενόμενον· Σὺ γὰρ ὤρισαι, πρὸ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον, τοῦ Παντοκράτορος.

Ἕτερος τῶν Ἁγίων, τοῦ Ἁγίου Μανουήλ. Ὠδὴ α΄. Ἦχο πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἄναρχε Λόγε, Μανουὴλ τοῦ Μάρτυρος, ταῖς εὐπροσδέκτοις εὐχαῖς, τὸν νοερὸν στόμα, τῆς καρδίας ἄνοιξον, καὶ χείλη μου τὰ ἔνυλε, ὅπως ᾄσμασι μέλψω, τὰς ἀριστείας τὰ τρόπαια, τούτου καὶ λαμπρὰ κατορθώματα.

Γνῶσίν μοι θείαν, οὐρανόθεν Ἅγιε, δός μοι πρεσβείαις ταῖς σαῖς, ὅπως ἐπαξίως, πλέξω σοι τὸν στέφανον, τοῖς ἐγκωμίων ἄνθεσι, καὶ τῶν ὕμνων τρισμάκαρ, ὡς τῷ φωτὶ ἐλλαμπόμενος, τῆς ἀπειροσόφου θεότητος.

Ὁ Παραβάτης τῷ θύμᾳ νικώμενος, ἐπὶ τῇ σῇ Μανουὴλ, ἀνδρικῇ ἐνστάσει, καὶ μανεὶς ὁ δείλαιος, τὸ σὸν κελεύει σκήνωμα, εἰλιθῆναι καλάμοις, καὶ ἀπηνῶς λόγχαις βάλλεσθαι, τὰς πλευρὰς τὰς σὰς γενναιότατε.

Θεοτοκίον.

Ὡς Θεοῦ Μήτηρ, παῤῥησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ Σοῦ, Μονογενῆ Λόγον, καὶ Πατρὶ συνάναρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῷσαι Πανάμωμε, τοὺς Σὲ Θεοτόκον δοξάζοντας.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ὡς βότρυες θεῖοι γεγονότες, ἀμπέλου τῆς θείας ἀληθῶς, ἀθλήσεως προχέουσιν, οἶνον ἡμῖν οἱ Μάρτυρες, πνευματικῶς εὐφραίνοντα, τὰς διανοίας ἐν χάριτι.

Πατρὸς ἐβδελύχθητε θρησκείαν, μητρὸς δὲ τὴν ἔνθεον σοφῶς, εὐσεβείαν ποθήσαντες, τὴν θείαν ἀναγέννησιν, τοῦ Πνεύματος ἐλάβετε, ὦ Ἀθλοφόροι αὐτάδελφοι.

Ἀχθέντες ἐνώπιον τυράννου, ἐγνώσθητε τρεῖς θεοσεβεῖς, ὅθεν καὶ καταφλέχθητε, στεῤῥῶς καὶ ὑπεμείνατε, πάσας βασάνους ἔνδοξοι, καὶ πολυύμνητοι Μάρτυρες.

Θεοτοκίον.

Νόμου προετύπου ἡ σκηνή Σε, γενήσεσθαι μέλλουσαν Ἁγνὴ, Θεοῦ Ἅγιον σκήνωμα, ἐν ᾧ ὁ ἱλασμὸς ἡμῶν, ἁγιασμὸν δωρούμενος, πᾶσιν ἡμῖν ἐπελεύσεται.

Ἕτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Νενεκρωμένῳ διὰ σὲ, πεπιστευκὼς τῷ Δεσπότῃ, θαῤῥαλέως τῷ θανάτῳ προστρέχεις, τὴν ἑκούσιον Αὐτοῦ ἐπιποθήσας νέκρωσιν, Μανουὴλ νικηφόρε, θείᾳ δυνάμει ῥωνύμενος.

Οὐ ξίφος Μάρτυς τὸν στεῤῥὸν, τῆς καρτερίας σου πύργον, διετάραξε γενναῖε ἀλλ᾽ ὤφθης, καρτερώτατος ποιναῖς, προσομιλῶν καὶ θλίψεσι, ταῖς παρ᾽ ἐχθρῶν ἀσπλάγχνως, προσφερομέναις σοι ἔνδοξε.

Πολλοὺς ὑπέστης σπαραγμοὺς, πρὸς τὸ τὴν θείαν γενναῖε, ἀπαρνήσασθαι σωτήριον κλῆσιν, τοῦ Χριστοῦ ἀλλ᾽ εἰς κενὸν, ὄντως κεκοπιάκασι· καὶ γὰρ μέχρι θανάτου, ταύτην γενναίως ἐβάστασας.

Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνὴ, μετὰ τῶν ἄνω Ταγμάτων, μετὰ πάντων τῶν σοφῶν Ἀποστόλων, καὶ Μαρτύρων ἱερῶν, καὶ Προφητῶν ἱκέτευε, ὅπως ἁμαρτημάτων, τελείαν λάβωμεν ἄφεσιν.

Καθίσματα· ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοὺς πολυτρόπους αἰκισμοὺς ἐνεγκότες, ἐν ἀπτοήτῳ λογισμῷ Ἀθλοφόροι, ὑπὲρ ἡλίου λάμπετε φαιδρότητα· ὅθεν τὴν φαιδρὰ ὑμῶν, ἑορτάζομεν μνήμην, πίστει ἱκετεύοντες, ταῖς ὑμῶν μεσιτείαις, ἁμαρτημάτων ἄφεσιν λαβεῖν, καὶ ἀγαθῶν αἰωνίων ἀπόλαυσιν.

Δόξα.

Ὁ Μανουὴλ ὁ τοῦ Χριστοῦ Ἀθλοφόρος, ὁ τὰς βασάνους ἀνδρικῶς ὑπομείνας, τοῦ μαρτυρίου ἔλαβε τὸν στέφανον, θῦμα τε γενόμενος, ὑπὲρ τῆς εὐσεβείας, ἅπαντας ἐδίδαξε, προσκυνεῖν τὴν Τριάδα· οὗ ταῖς πρεσβείαις λύτρωσαι ἡμᾶς, ἐκ πάσης βλάβης, Θεὲ Ὑπεράγαθε.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε; Τὰς ἐπαναστάσεις δὲ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; Ἀλλὰ τῇ Σῇ πρεσβείᾳ Ἀγαθὴ, τούτων μοι πάντων τὴν λύτρωσιν δώρησαι.

ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Παραστὰς τῷ Παραβάτῃ, ὁ τρισσόλεκτος θίασος, καὶ τῶν προσταγμάτων, ἔξαρνος τῶν τούτου γενόμενος, διὰ τεσσάρων βουνεύροις ὠμοῖς τύπτεται, τούτων ἕκαστος, ὢ καρτερία πανάριστος!

Ἱλαστήριον τὸ αἷμα, τῶν Μαρτύρων ἐγένετο, καὶ εὐωδεστάτη, ὄντως τῷ Θεω καθιέρωσις, ἀνεμποδίστως διδοῦσα τὴν ἀκίνδυνον, ἀναβρύουσαν πᾶσι, πηγὴν τῶν ἰάσεων.

Τῶν ποικίλων πειρασμῶν τε, καὶ κινδύνων τὴν ἔφοδον, ταῖς ὑμῶν πρεσβείαις, ταῖς πρὸς τὸν Χριστὸν διακρούσασθε, τῶν ἐκτελούντων ἐν πίστει τὴν πανίερον καὶ πανέορτον μνήμην ὑμῶν ἀξιάγαστοι.

Θεοτοκίον.

Ἰσχυρώτατόν σε ὅπλον, κατ’ ἐχθρῶν προβαλλόμεθα, δυσχερείας πάσῃς, καὶ τῶν χαλεπῶν περιστάσεων, ἀποσειόμεθα βλάβην καὶ τὸν κλύδωνα, τῶν αἱρέσεων Μῆτερ Θεοῦ διαφεύγομεν.

Ἕτερος. Εἰσακήκοα Κύριε.

Οὐχ εἱρκτὴ οὐδὲ μάστιγες, οὐ θυμὸς τυράννου, ἀλλ’ οὐδὲ θάνατος, τῆς ἀγάπης ἠδυνήθησαν, ἐκχωρίσαι Μάρτυς τοῦ Δεσπότου σου.

Θῦμα ὄντως εὐπρόσδεκτον, τῷ Χριστῷ ἐφάνης Μάρτυς στεῤῥότατε, κατὰ νοῦν μηδόλως θέμενος, τὰ τοῦ Παραβάτου μηχανήματα.

Οὐκ ἀρνοῦμαι τὸ ὄνομα, τοῦ Χριστοῦ ἐβόας Μάρτυς ἑλκόμενος πρὸς σφαγὴν ὡς ἀμνὸς ἄκακος, ἀλλὰ φέρω πάντα νῦν γηθόμενος.

Θεοτοκίον.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς αῤῥωστίας κατακειμένῳ μοι, ὡς φιλάγαθος βοήθησον, Θεοτόκε μόνη Ἀειπάρθενε.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἰκρίῳ ἐπάγητε, χεῖρας καὶ πόδας Ἅγιοι, δόγματι τυράννου μὴ πεισθέντες, καὶ ἀναρτᾶσθε, ἐν μετεώρῳ ἐκ γῆς, ὄνυξι ξεόμενοι δεινῶς, Ἄγγελον δὲ ἴδετε ὅς ὑμᾶς παρεθάῤῥυνε.

Καλάμοις τοῖς ὄνυξιν, οἱ Ἅγιοι ἐμπήγνυνται, νῶτα δὲ καὶ κάρας καθηλοῦνται, ἄτρεπτοι ὄντες καὶ μὴ

βουλόμενοι, θυσίαν εἰδώλοις ἐνεγκεῖν, ὅθεν τούτους ᾄσμασι καὶ ᾠδαῖς εὐφημήσωμεν.

Τὰ ἄνθη τὰ πνέοντα, ὀσμὴν ἐνθέου γνώσεως, τῆς θεογνωσίας, τοῦ Παραδείσου, δένδρα τὰ εὔκαρπα, τοὺς περικαλλεῖς καὶ φωταυγεῖς, Μάρτυρας ὑμνήσωμεν, καὶ πιστῶς μακαρίσωμεν.

Θεοτοκίον.

Ῥομφαία τὸ πρότερον, ἡ τὴν Ἐδέμ φυλάττουσα, στρέφει τοῖς πιστοῖς Ἁγνὴ τὰ νῶτα, σημειουμένοις Τιμίῳ Αἵματι, πάλαι κενωθέντι ἐκ πλευρᾶς, λόγχης ἐκκεντήματι, τοῦ ἐκ σοῦ ἀνατείλαντος.

Ἕτερος. Ἵνα τί με ἀπώσω.

Κολαστήρια ξένα, Μάρτυς καὶ δεινότατα κατεπενόησαν τῆς σῆς καρτερίας, οἱ τῆς πλάνης προστάται θερμότατοι, ἥλους ὀξυτάτους, τῇ κεφαλῇ σου διαπεῖραι, καὶ τοῖς νώτοις ἀσπλάγχνως ἐτόλμησαν.

Λαμπροί σου οἱ ἀγῶνες, καὶ τὰ τρόπαια Μάρτυς ἅπερ ἀνήγειρας, κατ’ ἐχθρῶν ἁπάντων, ὁρατῶν ἀοράτων πανθαύμαστε. Θείᾳ γὰρ δυνάμει, περιεγένου ἀμφοτέρων, καὶ τὴν τούτων ὀφρῦν καταβέβληκας.

Τὰς σεπτὰς ὑμῶν κάρας, τόπῳ ἐναπέτεμε κρημνώδει τύραννος, καὶ πυρὶ δοθῆναι, τὰ πανσέβαστα σκήνη ἐσκέψατο, τὸ τῶν Ὀρθοδόξων, πλήρωμα ἀνιᾶσαι θέλων, ἀλλ’ αὐτοῦ καταργεῖτε τὸ σόφισμα.

Θεοτοκίον.

Νοερῶς ἐμυήθη, Προφητῶν ὁ σύλλογος τὰ Σὰ μυστήρια, οὐρανοῦ γὰρ πύλην, ἐπὶ γῆς ὁ Δεσπότης Σὲ ἔδειξε, καὶ ἐκ Σοῦ Παρθένε, σωματωθεὶς δικαιοσύνης, τοῖς ἐν σκότει, ὡς ἥλιος ἔλαμψε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες τῶν Μαρτύρων πανήγυριν, δεῦτε φιλέορτοι, ἄνθη χαρίτων δρεψώμεθα, καὶ τῶν δεινῶν τὴν λύτρωσιν κομισώμεθα.

Θαυμάτων χάριν δεξάμενοι, ἰᾶσθε τῶν ψυχῶν ἀῤῥωστήματα, ἔνδοξοι Μάρτυρες, καὶ τῶν δεινῶν ἀπαλλάττετε, τοὺς πρὸς ὑμᾶς ἐν πίστει ᾀεὶ προστρέχοντας.

Τῷ θείῳ ζήλῳ πυρούμενοι, λαμπάσι τὰς μασχάλας ἐφλέχθητε, ὅθεν τὴν ἔνθεον, χάριν ἀφθόνως εἰλήφατε, καὶ τῶν δεινῶν τὴν λύσιν πιστοῖς παρέχετε.

Θεοτοκίον.

Τὸ πῦρ ἐν σοὶ τῆς θεότητος, ἐσκήνωσεν Ἁγνὴ θεόνυμφευτε, καὶ οὐ κατέφλεξε, τὴν σὴν νηδὺν παμμακάριστε, ἐδρόσισε δὲ μᾶλλον καὶ κατεφώτισεν.

Ἕτερος. Ἱλάσθητί μοι Σωτήρ.

Λαμπρότατε Μανουὴλ, τοὺς ὁμωνύμους σοι φύλαττε, καὶ πάντας τοὺς εὐσεβεῖς, τοὺς τὴν σὴν γεραίροντας, μνήμην τὴν πανίερον, ἐκ παντὸς κινδύνου, καὶ δεινῶν καὶ περιστάσεων.

Ἐνήθλησας ἀνδρικῶς, ποσί σου κτείνας τὸν δράκοντα, καὶ νῦν ἐν τοῖς οὐρανοῖς ἀγάλλῃ δρεπόμενος, τὰ γέρα τῶν πόνων σου, καὶ ἡμῖν βραβεύων τὴν εἰρήνην ταῖς πρεσβείαις σου.

Ταῖς στρέβλαις τῶν ἀσεβῶν, ὁ Μάρτυς πάσχων ἠγάλλετο, καὶ πάθει τοῦ ἀπαθοῦς τὸν νοῦν κραταιούμενος, ἐνίκα τοὺς ἄφρονας, πρὸς τὸν Ἀθλοθέτην, ἀνενδότως ἐπειγόμενος.

Θεοτοκίον.

Λαμψάτω νῦν ἐπ᾽ ἐμὲ, ἡ ἄφατος εὐσπλαγχνία Σου, βυθοῦ με ἁμαρτιῶν καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Οἱ τρεῖς θεῖοι Μάρτυρες οἱ ἐκ Περσίδος, τὸν Σταυρὸν ἀράμενοι, οὐκ ἐδειλίασαν ποινὰς, ἀλλ᾽ ἐν σταδίῳ ἐκήρυξαν, τὸν ἐν Μονάδι Θεὸν Τρισυπόστατον.

Ὁ Οἶκος.

Εὐφημήσωμεν φιλέορτοι τοὺς Μεγαλομάρτυρας τρεῖς αὐταδέλφους Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ, τοὺς ἐκ Περσίδος, ὡς ἀστέρας φαεινοὺς ἐκλάμψαντας λέγοντες· χαίρετε οἱ τὰ σώματα παντοίοις αἰκισμοῖς παραδόντες, καὶ τὴν ἄληκτον καὶ ἀγήρῳ ζωὴν τῆς φθαρτῆς προτιμήσαντες· χαίρετε οἱ τὰ στίγματα τοῦ Κυρίου ἐν τοῖς σώμασιν ὑμῶν φέροντες, καὶ διὰ Χριστὸν τοὺς ἀστραγάλους ἥλοις παρέντες· χαίρετε οἱ

τὸν διὰ ξίφους θάνατον ἑτοίμως δεξάμενοι, καὶ τῶν γηΐνων τὰ οὐράνια ἀνταλλάξασθαι βουληθέντες· καὶ νῦν ἐν οὐρανοῖς σὺν Ἀγγέλοις ἀγαλλόμενοι, ἀπαύστως ὑμνεῖτε, τὸν ἐν Μονάδι Θεὸν Τρισυπόστατον.

Ἕτερον, τοῦ Ἁγίου Μανουήλ. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῶν τοῦ τυράννου ἀπειλῶν καὶ ὑποσχέσεων, καταφρονήσας ἀνδρικῶς στύλε ἀκλόνητε, σὺν ὁμαίμοσιν ἐνήθλησας μεγαλόφρον· ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον, Μανουήλ με ἐκ κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι, χαίροις Μάρτυς πανθαύμαστε.

Ὁ Οἶκος.

Τίς σου τῶν ἐπιγείων Μανουὴλ ἐξισχύσειεν εἰπεῖν τοὺς μαρτυρικοὺς ἄθλους, καὶ τῆς ὑπὲρ Χριστοῦ πάλης τὴν ἄμετρον ἔνστασίν τε καὶ καρτερίαν, ἥν ἐπὶ γῆς ὡς ἄσαρκος ἐπεδείξω; Ἀλλ' ὅμως ἴδε οὕτω σοὶ κράζω·

Χαίροις, Θεοῦ στρατιώτα γενναῖε·
χαίροις, Χριστοῦ Μάρτυς ὡραῖε.
Χαίροις, ἀστὴρ τοῦ νοητοῦ Ἡλίου παμφαίδιμε·
χαίροις, καρπὲ τοῦ Ἁγίου Πνεύματος ὥριμε.
Χαίροις, Περσίδος ἀθάνατον βλάστημα·
χαίροις, Θράκης ἀκλόνητον ἔρεισμα.
Χαίροις, τερπνὸν θῦμα τοῦ παντάνακτος Θεοῦ·
χαίροις, ὁ τὴν πλάνην διελέγξας τοῦ Ἰουλιανοῦ.

Χαίροις, ὁ πῦρ ἥλους καλάμους βέλη καὶ ξίφος εἰς οὐδὲν λογισάμενος·

χαίροις, οὗ τῇ ἀθλητικῇ ἐνστάσει Σατὰν ὁ δόλιος ὑπῆρξε παιζόμενος.

Χαίροις, τῶν ἑορταζόντων τὴν μνήμην σου ὁ προστάτης·

χαίροις, δι’ οὗ ἡττήθη ὁ τύραννος Παραβάτης.

Χαίροις Μάρτυς πανθαύμαστε.

Συναξάριον·

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνὸς, μνήμῃ τῶν Ἁγίων Μαρτύρων Μανουὴλ, Σαβὲλ καὶ Ἰσμαὴλ (362).

Στίχοι·

*Τριάδος αἰσχύνουσιν ἐχθροὺς τριστάτας·*
*Τὸν Μανουὴλ νύττουσι λόγχαι Χριστέ μου,*
*Ζηλοῦντα πλευρᾶς λογχουύκτου σῆς πάθος·*
*Ἐβδομάτῃ δεκάτῃ ἴδε τρεῖς Ἀνέρας ἀθλέοντας.*

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἐπὶ πέτραν, θείαν γνώσεως ἐρείσαντες, τὰς βάσεις ἔνδοξοι, τῶν καρδιῶν ὑμῶν, ἐχθρῶν μηχανήμασιν οὐ παρετράπητε, ἀναμέλποντες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Διεχώρισεν, ὑμᾶς ὁ ἀνομώτατος, τύραννος ἔνδοξοι, Σαβὲλ τε καὶ Ἰσμαὴλ, ἀπάτῃ σκεπτόμενος,

ὑποσκελίσαι ὑμᾶς, ἀλλ’ ἀπέτυχε, καὶ γὰρ ὑμεῖς ὡράθητε, ἀδιάσειστοι γενάδαι.

Ἀλαμούνδαρος, ὁ Ἄναξ τῶν Περσῶν ὑμῖν, ἐλθεῖν ἐκέλευσεν ὧς στρατηλάταις αὐτοῦ, εἰρήνην βραβεύσασθαι πρὸς τὸν παράνομον, ὅστις ἥκιστα, εἰς νοῦν πρεσβείαν θέμενος, ὑπὲρ πίστεως ἠρεύνα.

Θεοτοκίον.

Φωτεινότατον, παλάτιον εὑράμενος, Θεὸς τὴν μήτραν Σου, ταύτην κατῴκησεν, υἱοὺς ἐργαζόμενος φωτὸς Πανάμωμε, τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἕτερος. Θεοῦ συγκατάβασιν.

Ῥωννύμενος σθένει σου, παντοδυνάμῳ ὁ Ἀθλοφόρος Χριστὲ, καὶ τελέσας τὸν δρόμον τοῦ Μαρτυρίου γιγαντιαίῳ ποδὶ, καὶ σὺν Ἀγγέλοις σκηνώσας κραυγάζει σοι· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Σιὼν τὴν οὐράνιον, οἰκεῖς παμμάκαρ σὺν τοῖς Μαρτύρων χοροῖς, ἐλλαμπόμενος αἴγλη, καὶ φωταυγίᾳ τοῦ ἀνεσπέρου φωτὸς, καὶ σὺν Ἀγγέλοις βοᾷς εὐφραινόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Μετ’ ἤχου ἀπώλετο, τὸ Παραβάτου οἰκτρὸν μνημόσυνον, κατὰ τὴν προφητείαν, πρὸς τὴν Περσίδα θράσεως ἐγγίζοντος, καὶ γὰρ καιρίως ἐτρώθη ὁ δείλαιος, καὶ τὴν ἀθλίαν οἰκτρῶς, ψυχὴν ἀπεχρέμψατο.

Θεοτοκίον.

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης ἥλιον ἔχουσα, τὸν ἐκ σκότους τὸν κόσμον, τῆς ἀγνωσίας ἀποκαθαίρονται, θεογνωσίας ἀκτίσιν ᾧ ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ᾨδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἐλθόντες εἰς τόπον τοῦ θανάτου, εὐθέως τὰς κεφαλὰς ἐναπετμήθητε, εἶτα θαῦμα γέγονεν, ὄντως ὑπερένδοξον, ἡ γῆ γὰρ ἐναπέκρυψε, τὰ ὑμῶν σώματα, οἱ ἄπιστοι ἐν πίστει ἐβόων· μέγας Ὀρθοδόξων, Θεὸς εἰς τοὺς αἰῶνας.

Ἐκ γῆς ἀναφύονται ὡς κρῖνα, σταλάζοντα εὐωδίας γλυκασμὸν, τὰ σεπτὰ σκηνώματα, τῶν Μαρτύρων ἅπασι, ταῖς προσευχαῖς καπτόμενα, τῶν εὐσεβῶν συμπαθῶς, ἰάσεις τοῖς νοσοῦσι δωροῦνται, ἵνα εὐλογῶσι Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑμᾶς τοὺς γενναίους Ἀθλοφόρους, Σαβὲλ, Ἰσμαὴλ, καὶ Μανουὴλ, τοὺς ἐκ Περσίδος λάμψαντας, πρέσβεις πρὸς τὸν Κύριον, ἰσχυρωτάτους ἔχοντες, πόθῳ κραυγάζομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε Αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σαρκὶ ἑνωθεὶς Σοι κατ' οὐσίαν, ὁ πᾶσι τὸ εἶναι παρεχόμενος, ὅλον μὲ ἀνέπλασεν, ὅλον ἀνεκαίνισε, παλαιωθέντα Πάναγνε, ταῖς παραβάσεσι· διὸ Σὲ τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Ἑπταπλασίως κάμινον.

Ὦ Μανουὴλ πολύαθλε, τὸν ἐν Χίῳ ἀθλήσαντα, πρόσφατόν σοι φίλον, καὶ κλεινὸν ὁμώνυμον, τῇ σῇ χορείᾳ πρόσδεξαι· οὗτος γὰρ ὄντως ὑπὲρ Χριστοῦ, ὡς περικαλλὴς ἀμνὸς ἐτμήθη τὴν κάραν· διὸ καὶ ὁμοφώνως, τῷ Θεῷ καὶ Δεσπότῃ, πρεσβεύσατε σωθῆναι, ἡμᾶς τοὺς Ὀρθοδόξους.

Ὑπὲρ ἡμῶν ἱκέτευε, Μανουὴλ τρισμακάριστε, τὸν Θεὸν τῶν ὅλων, τῶν θερμῶς τελούντων σου, τὴν μνήμην τὴν πάντιμον, καὶ παναγίαν σου τελετὴν, ἔχων πρὸς Αὐτὸν, μαρτυρικὴν παῤῥησίαν, προσάγειν ἱκεσίας, καὶ πληροῦν τὰς αἰτήσεις, τῶν πίστει προστρεχόντων τῇ σκέπῃ σου τῇ θείᾳ.

Τῷ Θρόνῳ παριστάμενος, τῆς Τριάδος τρισόλβιε, ἅμα τοῖς Μαρτύρων, ἱεροῖς στρατεύμασιν, ἀγώνων τὰ ἔπαθλα, λαμβάνεις παρ᾽ Αὐτῆς δαψιλῶς, καὶ νικητικὰ ὡς Ἀθλητὴς τὰ βραβεῖα, δεχόμενος τρισμάκαρ, σὺν πολλῇ εὐφροσύνῃ, ὑμνεῖς τὸ θεῖον κράτος, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νύμφη Θεοῦ Πανάμωμε, τοὺς πρὸς Σὲ καταφεύγοντας, τῆς αἰχμαλωσίας τῶν παθῶν ἐξάρπασον, καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν Δέσποινα, ταῖς τῶν Ὀρθοδόξων Ἐκκλησίαις παράσχου, ταῖς πίστει μελωδούσαις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Μετὰ τῶν Μεγαλυναρίων. Ἅπας γηγενής.

*Ἄγγελοι θαυμάζουσιν οὐρανόθεν, ὁρῶντες ὑμᾶς Ἅγιοι, καθυπομείναντες πάσας, τὰς τοῦ τυράννου βασάνους.*

Δεῦτε οἱ πιστοὶ, συμφώνως αἰνέσωμεν, τοὺς τρεῖς θεόφρονας, καὶ μεγίστους Μάρτυρας, καὶ γὰρ τὰ σώματα αὐτῶν ἔδωκαν, βασανισταῖς οἱ ἔνδοξοι, καὶ ὑπομείναντες, ὁλοψύχως, θάνατον ὠμότατον, τῆς ἀγήρω ζωῆς ἐκληρώσαντο.

*Ἄνθρωποι ἐν ᾄσμασιν εὐφημοῦσι, τὰ πάθη ὑμῶν ἔνδοξοι, ἅ ὑπηνέγκατε ξένως, αὐτάδελφοι τρεῖς ὁπλῖται.*

Πάντες οἱ πιστοὶ, Σαβὲλ τὸν τρισόλβιον, σὺν Ἰσμαὴλ τῷ σοφῷ, καὶ τὸν παναοίδιμον, ἐκείνων μείζονα καὶ αὐτάδελφον, τὸν Μανουὴλ ὑμνήσωμεν, δοξολογοῦντες αὐτοὺς, κατὰ χρέος· χαίρετε αὐτάδελφοι, τῶν Περσῶν τὰ εὐώδη βλαστήματα.

Ἥρωες, ἐδείχθητε ἐν σταδίῳ, ἀθλοῦντες καρτερώτατα, καὶ τοῦ τυράννου τὸ δόγμα, εἰς χάος καταβαλόντες.

Στήσατε δεινὸν, βαρβάρων τὸν κλύδωνα, ἐπεγειρόμενον, πάντοτε τοῖς δούλοις ὑμῶν, τῆς Ἐκκλησίας παύσατε σχίσματα, τοῖς ὑμνηταῖς βραβεύσατε, πταισμάτων ἄφεσιν, εὐσεβέσι, νίκας χαριζόμενοι, κατὰ τῶν ἐναντίων ἑκάστοτε.

Θεοτοκίον.

*Ἄπαντες, ἐν τῷ πανσέπτῳ τεμένει, τὴν μνήμην ὑμῶν πάντιμοι, συναθροισθέντες τελοῦμεν, τῇ Θεοτόκῳ βοῶντες.*

Σῷσόν με Ἁγνὴ, Σωτῆρα κυήσασα, καὶ πανοικτίρμονα, οἴκτειρον τὸν δοῦλόν Σου, πρὸς μετανοίας ὁδοὺς κατεύθυνον, τοῦ πονηροῦ τὰ σκάνδαλα, ἐκ μέσου ποίησον, καὶ ἐνέδρας, τῆς αὐτοῦ με λύτρωσαι, Θεοτόκε πιστῶν ἡ βοήθεια.

Ἕτερος. Ἐξέστη ἐπὶ τοῦτῳ ὁ οὐρανός.

*Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Περσίδος, ὁρμώμενον ὁπλίτην, τὸν καταβαλόντα τὸ φρύαγμα τυράννου.*

Τὴν πάνσεπτον Τριάδα συμβολικῶς, ἐξεικόνισας Μάρτυς πολύθλε, σὺ ἐκβοῶν, τύραννε οὐκ οἶσθα ὅπως ἐσμὲν, εἶς τῷ ἑνὶ συνδούμενοι; Ἕκαστος δὲ πάλιν φρονοῦντες ἕν; Ὁρῶν οὖν τὸ τριταῖον, ἡμῶν ὄν ἑνιαῖον, καὶ τῶν τριῶν ταχὺ ἀπόστηθι.

*Μεγάλυνον ψυχήν μου, τὸν ὑπενεγκόντα, βασάνους πολυτρόπους, καὶ ἀκλινῆ ὀφθέντα, τὸν Μανουὴλ τὸν μέγαν.*

Ἐθέλχθης τοῦ Δεσπότου ταῖς καλλοναῖς, ὧν οὐδὲν ὡραιότερον ἔνδοξε, καὶ τῆς Αὐτοῦ σπεύδων ἀπολαύειν διηνεκοῦς, καὶ εὐπρεποῦς λαμπρότητος, ξίφει ἐκτεμεῖν σου τὴν κεφαλὴν, ἠρέθισας διώκτην, πυρούμενος τῷ πόθῳ, θεῖε Μανουὴλ τοῦ Κυρίου σου.

*Κυρίου Ἀθλοφόρε, Μανουὴλ τρισμάκαρ, πρέσβευε ἀπαύστως, ὑπὲρ τῶν ἐκτελούντων, τὴν πάνσεπτόν σου μνήμην.*

Ὡς μέγιστον τὸ κλέος σου Ἀθλητὰ, καὶ ἡ δόξα καὶ χάρις ἥν ἔλαβες, παρὰ Θεοῦ, πᾶσαν ἐγκωμίων

ὑπερνικᾶ, σύνθεσίν τε καὶ δύναμιν, λόγου ἐφυμνίου ἀλλ’ εὐμενῶς τὸ εὐτελές μου τοῦτο, δῶρον δέξαι καὶ δός μοι, ταῖς σαῖς πρεσβείαις τὴν ἀντάμειψιν.

Θεοτοκίον.

*Παντάνασσα Παρθένε, ἐλπὶς ἀπηλπισμένων, ἱκέτευε σωθῆναι, τοὺς πίστει προσκυνοῦντας, τὸν ἄφραστόν Σου Τόκον.*

Σωτῆρα ὡς τεκοῦσα καὶ Λυτρωτὴν, σωτηρίας με Κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μου τὰς σειρὰς, ταῖς Σαῖς πρεσβείαις λύουσα· πάντα γὰρ ὡς θέλεις νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων Βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Μανουὴλ ὁ πανένδοξος, Ἰσμαὴλ ὁ γενναῖος, καὶ Σαβὲλ ὁ ἀείμνηστος, τοῦ Χριστοῦ τῇ ἰσχύϊ, ἐνήθλησαν καὶ τὴν πλάνην, τοῦ τυράννου καθεῖλον, ὑπὲρ ἡμῶν πρεσβεύοντες, τῇ Ἁγία Τριάδι, οὕς εὐσεβῶς, ἐγκωμίων ᾄσμασιν εὐφημοῦντες, φαιδρῶς πανηγυρίσωμεν, τὴν σεπτὴν τούτων μνήμην.

Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Μανουὴλ τοὺ θεόφρονος, καὶ πανενδόξου Μάρτυρος, αὕτη ἐπῆλθεν ἡμέρα, τῆς πανηγύρεως ἥν περ, λαμπρῶς νῦν ἑορτάσωμεν, ὑπὲρ Χριστοῦ γὰρ ἤθλησε, καὶ ἐγερθῶμεν τάχιστα, ὦ φιλομάρτυρες πάντες, πρὸς ἀρετῶν εὐκαρπίαν.

Θεοτοκίον. Ὅμοιον.

Καὶ σχετικῶς ἀσπάζομαι, καὶ πόθῳ τὴν προσκύνησιν, προσνέμω πίστει καὶ φόβῳ, τῇ Παναχράντῳ καὶ Θείᾳ, Εἰκόνι Σου Πανάμωμε, ἀφ' ἧς ψυχῶν ἐκβλύζουσι, καὶ τῶν σωμάτων Δέσποινα, ἰάματα τοῖς ὑμνοῦσι, Σὲ Θεοτόκον κυρίως.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.

Ὢ τοῦ παραδόξου θαύματος! ἐν οὐρανῷ καὶ ἐν γῇ, ἀγαλλίαμα σήμερον, ἐν τῇ μνήμῃ ηὔγασται, Μανουὴλ τοῦ παμμάκαρος, ἐκ τῶν Ἀγγέλων, ἐπαίνοις στέφεται, καὶ ἐξ ἀνθρώπων, ᾄσματα δέχεται· ὢ οἷον ἤθλησε, πῶς καλῶς ἠγώνισται, δι' οὗ ἐχθρὸς, πέπτωκεν ὁ δόλιος, Χριστοῦ νικήσαντος.

Πᾶσαν τοῦ ἐχθροῦ τὴν ἔφοδον, καὶ τὰς τυράννους ὁρμὰς, καταλύσας τῇ χάριτι, τὸν τῆς νίκης στέφανον, ἀνεδήσω πανόλβιε, τῆς ἀκηράτου ἀγαλλίασεως, καὶ τῆς ἀφράστου καταξιούμενος, θείας ἐλλάμψεως, ἔνθα νῦν γενόμενος, ἁμαρτιῶν, αἴτησαι τὴν ἄφεσιν, τοῖς εὐφημοῦσί σε.

Ὢ τοῦ παραδόξου θαύματος! ὑπὲρ Χριστοῦ λογχευθεὶς, Μαμουὴλ ὁ τρισόλβιος, πρὸς ἐχθροὺς ἑκάστοτε, ῥομφαία ὤφθη δίστομος, ἀποθέριζων, ἐχθρῶν γαυρίαμα, καὶ καταράσσων, δαιμόνων φρύαγμα· ὢ ἐκβοήσωμεν, Μανουὴλ πολύαθλε, σκέπε ἡμᾶς, σοῦ τὴν ἀεισέβαστον, μνήμην γεραίροντας.

Πάθει τὸ πάθος μιμούμενος, τὸ ζωηφόρον Χριστοῦ, παρ' Αὐτοῦ ἐνέργειαν, τῶν θαυμάτων εἴληφας, Μανουὴλ ἀξιάγαστε, καὶ διασῴζεις, τοὺς σοὶ προστρέχοντας, πολλῶν κινδύνων, αὐτοὺς ῥυόμενος, ἔχων εὐάρεστον, παῤῥησίαν ἔνδοξε πρὸς τὸν Χριστὸν, ᾧ καὶ νῦν παρίστασαι, δόξης πληρούμενος.

Δόξα. Ἦχος πλ. β΄.

Προοίμιον τυπικῶς, τῆς τρισσοφεγγοῦς ὑμῶν ὁμονοίας, καὶ ἐν Χριστῷ μαρτυρίας τῆς ἀκηράτου Τριάδος, καὶ ὑπερουσίου Μονάδος Ἀθληταὶ, οἱ ἐν Περσίδι ἄφλεκτοι συντηρηθέντες, τρεῖς παῖδες γεγόνασιν· ὡς γὰρ ἐκεῖνοι φλογὸς κατετόλμησαν, είς Θεὸν μὴ ὑβρίσαντες, οὕτω καὶ ὑμεῖς θανεῖν οὐ παρητήσασθε, μὴ ὑπενδότες τῇ τοῦ Χριστοῦ ἀγαπήσει· ἀλλ' ὡς ἐκείνους ὁ φανεὶς τέταρτος ἐν τῇ φλογὶ ἐδρόσιζεν, οὕτω καὶ ὑμᾶς Χριστὸς, ὁ εἷς τῆς Τριάδος προσεδέξατο ἐν τόπῳ ἀναψύξεως, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ· ὦ θεόληπτοι, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Σὺ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀθλοφόρων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον ἐκ τῆς κανδήλας τῶν Ἁγίων, τοῖς ἀδελφοῖς, ψαλλομένων τῶν ἰδιομέλων τῶνδε. Ἦχος β'.

Δεῦτε πιστοὶ συνελθόντες, τὴν τρισάριθμον χορείαν τῶν γενναιοτάτων αὐταδέλφων εὐφημήσωμεν, καὶ θεηγόροις ᾄσμασιν ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· χαίρετε λαμπτῆρες τρισσόλεκτοι, οἱ τὴν πλάνην τῶν εἰδώλων εἰς χάος βυθίσαντες, καὶ τοὺς τῶν γλυπτῶν θιασῶτας εὐθαρσῶς ἀπελέγξαντες· χαίρετε τῆς Τριάδος ἰσάριθμοι, οἱ τοῦ Παραβάτου τὸ φρύαγμα ἀνδρικῶς καταβαλόντες, καὶ ποικίλας βασάνους στεῤῥῶς ὑπομείναντες· χαίρετε ὁπλῖται ἀλκιμώτατοι, οἱ τοῦ δολίου βελίαρ τὸ σύστημα εὐθυβόλως ἀκοντίσαντες, καὶ τὴν ὀφρύν αὐτοῦ εἰς τέλος κατατροπώσαντες, τῇ ἐν σταδίῳ ὑμῶν ἀθλητικωτάτῃ καρτερίᾳ· ἀνθ’ ὧν καὶ παρὰ Χριστοῦ τὰ βραβεῖα τῆς νίκης ἐπαξίως ὑπεδέξασθε· ὅθεν καὶ παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένοι, μὴ διαλείποιτε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Ἐπιγνόντες ἀδελφοὶ τῶν ἀηττήτων Μαρτύρων τὰ κατορθώματα, ἐπὶ τῇ πανσέπτῳ αὐτῶν μνήμῃ εὐσεβῶς πανηγυρίσωμεν· οὗτοι γὰρ ὑπὲρ Χριστοῦ πρὸς πάθος αὐτομολήσαντες, καρτερῶς ὑπήνεγκαν τῶν βασάνων τὸ ἰταμώτατον· εἱρκτῇ ἐγκλεισθέντες, καὶ βουνεύροις ἀφειδῶς αἰκισθέντες, χεῖράς τε καὶ πόδας ἰκρίῳ προσπαγέντες, σιδηροῖς ὄνυξι καταξέονται· ἐφ’ ὧν καὶ Ἀγγέλου ὀπτασίαν ἐνισχύοντος αὐτοὺς ἰδεῖν

κατηξιώθησαν· λαμπάσι δὲ πυρὸς τὰς μασχάλας ἐκκαέντες, κεφαλάς τε καὶ νῶτα τοῖς ἥλοις διαπαρέντες, καλάμοις ὀξέσι τοῖς ὄνυξιν ἐνεπήγησαν, καὶ τὰς κεφαλὰς εἰς τέλος προσευχόμενοι ἐναπετμήθησαν· ὅθεν καὶ φωνὴ οὐρανόθεν ἠκούσθη λέγουσα· Δεῦτε τοὺς στεφάνους τῆς δόξης ληψόμενοι ἐπαπολαύσοντες· καλῶς γὰρ ὑμῖν τῶν ἀγώνων ὁ δρόμος τετέλεσται· διὸ παμμακάριστοι καὶ πολύαθλοι, μὴ παύσητε πρεσβεύειν ὑπὲρ τῶν ἐκτελούντων εὐλαβῶς, τὴν μνήμην ὑμῶν τὴν σεβάσμιον.

Ἦχος πλ. α΄.

Μέγα καὶ παράδοξον σήμερον ἐτελεσιουργήθη τεράστιον, ἐν τῇ σεπτῇ πρὸς Κύριον ἐκδημήσει τῶν παμεγγίστων Ἀθλοφόρων· ἡ γῆ γὰρ πιανθεῖσα τοῖς μαρτυρικοῖς αὐτῶν αἵμασιν, ἐμφρόνως ᾐδέσθη, καὶ τὰ πάντιμα αὐτῶν σκηνώματα, ὡς θησαυρὸν πολύτιμον ῥαγεῖσα ἐναπέκρυψε· τῇ δὲ τῶν πιστῶν ἐν προσευχαῖς προσκαρτερήσει, καὶ ἀδιαλείπτῳ παρακλήσει, παραδόξως αὖθις ἐκ τῶν μυχῶν αὐτῆς, ὡς ᾀειθαλῆ καὶ εὐώδη κρῖνα ἀνεβλάστησε, τοῖς σύμπασι χαρὰν καὶ εὐωδίαν ἄῤῥητον ἐναποστάζοντα, καὶ ὁσημέραι ψυχῶν τε καὶ σωμάτων τὰς ἰάσεις παρέχοντα· αἰσχύνθητι οὐκοῦν Ἰουλιανὲ παρανομώτατε, ψεύδους ἔκγονε, ὁ ἀφ᾽ ἡμῶν στερῆσαι τῶν πολυτιμήτων τούτων θησαυρῶν προλογισάμενος· ὁ γὰρ Θεὸς καὶ ὑπὲρ φύσιν δοξάζει τοὺς Αὐτὸν ἀντιδοξάζοντας· ὅθεν ἡμεῖς αὐτῶν εὐποροῦντες, καὶ πρεσβευτὰς πρὸς Κύριον

ἀκαμάτους ἔχοντες, ἀπὸ πάσης προσβολῆς ἐναντίας σωζόμεθα.

Ἦχος βαρύς.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, καὶ μεγίστους ἐν Μάρτυσιν, οἱ εὐσεβεῖς καὶ ὁμώνυμοι, θεοφιλῶς ἑορτάσωμεν· οὗτοι γὰρ πανσόφως τὴν πατρικὴν θρησκείαν βδελυξάμενοι, τὴν μητρῴαν εὐσέβειαν ὁλοψύχως ἐνεκολπώσαντο· ἥν καὶ τυράννου ἐνώπιον τρανῶς ὁμολογήσαντες, γενναίως τὰς βασάνους ὑπήνεγκαν· ὅθεν καὶ παῤῥησίαν πρὸς Θεὸν κεκτημένοι, οὐ διαλείπουσι πρεσβεύειν, ὑπὲρ τῶν ἑορταζόντων σεμνῶς τὴν μνήμην αὐτῶν τὴν σεβάσμιον.

Δόξα. Ἦχος πλ. δ'.

Πρόμαχε τῆς εὐσεβείας, Μανουὴλ Μαρτύρων ἐγκαλλώπισμα· σὺ δὲ τὸν Παραβάτην τύραννον τολμηρῶς διήλεγξας, τοῖς γλυπτοῖς καὶ ἀψύχοις μὴ πείθεσθαι· ὁ δὲ παράφρων καὶ παρανομώτατος, διὰ ῥημάτων κολακείας, ἔσπευδεν ὑποσκελίσαι σε, καὶ ποικιλίᾳ ἐκφοβῆσαί σε βασάνων· σὺ δ’ ὥς ἀδάμας στεῤῥὸς, ἀκλινὴς καὶ ἄκαμπτος ἐν πᾶσι τούτοις προσκαρτερήσας, καὶ τὴν ἐν τρισὶ σώμασιν ἀχώριστον σύνδεσμον, καὶ τὴν ὁμόψυχον καὶ ὁμόφρονα τῆς τρισαρίθμου ἀδελφότητος γνώμην, τὴν φύσεως ἀκολουθίᾳ καὶ πίστεως συζευχθεῖσαν, τρανῶς καθυποδείξας, τὴν Τρισυπόστατον Θεότητα ἐξεικόνισας· διὸ καὶ καλάμοις ἐνειλιθεὶς κατασφίγγῃ, καὶ λόγχαις τὰς πλευρὰς κατακεντᾷ, τὸν ὑπὲρ σοῦ

λογχευθέντα ἐν Σταυρῷ, ἀριδήλως μιμούμενος· ᾧ πρέσβευε διηνεκῶς σὺν τοῖς συνάθλοις συ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀκαταίσχυντε ἐλπὶς, πάντων τῶν Ὀρθοδόξων μεσιτείᾳ τῶν γενναιοτάτων Ἀθλοφόρων, ἀδιαλείπτως πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Δεσπότῃ, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ, οἱ Μακαρισμοί καί ἐκ τῶν Κανόνων ἡ γ' ὠδή τοῦ πρώτου καί ἡ στ' τοῦ δευτέρου.

Ἀπόστολος ἐκ τῆς πρός Ἐφεσίους Ἐπιστολῆς Παύλου: Ἀδελφοὶ, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος Αὐτοῦ...

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν: Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους...

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...

